1 *ἵετο δ' ὠκύπομπον δόρυ· σόει*
*νιν βορεὰς ἐξόπιν πνέουσ' ἀήτα·*
*τρέσσαν δ' Ἀθαναΐων*
4 *ἠϊθέων ⟨–⟩ γένος, ἐπεί*
5 *ἥρως θόρεν πόντονδε, κα-*
*τὰ λειρίων τ' ὀμμάτων δά-*
*κ'ρυ χέον, βαρεῖαν ἐπιδέγ'μενοι ἀνάγκαν.*
8 *φέρον δὲ δελφῖνες {ἐν} ἁλι-*
*ναιέται μέγαν θοῶς*
10 *Θησέα πατ'ρὸς ἱππί-*
*ου δόμον· ἔμολέν τε θεῶν*
*μέγαρον. τόθι κ'λυτὰς ἰδών*
13 *ἔδεισε⟨ν⟩ Νηρῆος ὀλ-*
*βίου κόρας· ἀπὸ γὰρ ἀγ'λα-*
*ῶν λάμπε γυίων σέλας*
16 *ὧτε πυρός, ἀμφὶ χαίταις*
*δὲ χρυσεόπ'λοκοι*
18 *δίνηντο ταινίαι· χορῶι δ' ἔτερ-*
*πον κέαρ ὑγροῖσι ποσσίν.*
20 *εἶδέν τε πατ'ρὸς ἄλοχον φίλαν*
21 *σεμνὰν βοῶπιν ἐρατοῖ-*
*σιν Ἀμφιτρίταν δόμοις·*
23 *ἅ νιν ἀμφέβαλεν ἀϊόνα πορφυρέαν,*